μεταβάσεις (§. φλζ.), ἀληθεύουσαι εἰσὶν, αἱ δὲ περιτταὶ ψευδόμεναι.

§. ψιβ΄. Τούτοις αὖτις καὶ εἶδος ἕτερον Σωρείτου προσθετέον, Σωρείτην τοῦτον κατὰ συνέχειαν, πρὸς ἀντιδιαστολὴν τοῦ ἀνωτέρω κατ᾽ Ἀλληλουχίαν ὄντος, ἐπονομάσας. Γίνεται δὲ, ἐπειδάν τις, οὐχ ὅλον, ὡς ἐπ᾽ ἐκείνου, μέρος δὲ τοῦ κατηγορουμένου ἐφεξῆς προσλαμβάνων, τὸ λοιπὸν, σὺν ἑτέρῳ προσληφθέντι, ἐκείνου κατηγορεῖ ἀεὶ τὸ αὐτὸ, ἐπὶ τὸ μᾶλλον, ἢ ἧττον προβαῖνον κατὰ τὴν πρόοδον. Οἷον,

Ἀχιλλεὺς ἦν ἀνδρειότερος Αἴαντος.
Αἴας δ᾽ Ὀδυσσέως ἦν ἀνδρειότερος.
Ὀδυσσεὺς δὲ Μενελάου.
Ἀχιλλεὺς ἄρα πολλῷ τοῦ Μενελάου ἦν ἀνδρειότερος·
Τοιοῦτος ὁ παρὰ Πλουτάρχῳ (1).
Οἱ δεδεμένοι εὐδαιμονίζουσι τοὺς λελυμένους.
Ἐκεῖνοι δὲ τοὺς ἐλευθέρους.
Οἱ δὲ ἐλεύθεροι τοὺς πολίτας.
Οὗτοι δὲ πάλιν αὖ τοὺς πλουσίους.
Οἱ δὲ πλούσιοι τοὺς Σατράπας.
Οἱ δὲ Σατράπαι τοὺς Βασιλεῖς.
Οἱ δὲ Βασιλεῖς τοὺς Θεοὺς, μονονουχὶ βροντᾷν καὶ ἀστράπτειν ἐθέλοντες.
Πόσῳ οὖν οἱ δεδεμένοι εὐδαιμονοῦσι τοὺς Σατράπας, καὶ τοὺς Βασιλεῖς;

(1) Περὶ Εὐθυμίας.

ΚΕΦ.



# ΚΕΦ. ΕΚΤΟΝ.

## Περὶ Συλλογισμῶν Συνθέτων.

§. ψιγ΄.

Τοῦ Συλλογισμοῦ ὁ μέν τις ἁπλοῦς ἐστὶν, ὁ δὲ σύνθετος. Καὶ ἁπλοῦς μὲν, ὃς καὶ Κατηγορικὸς λέγεται, ὁ ἐξ ἁπλῶν (§. υιδ΄.) ἀποφάνσεων, σύνθετος δὲ ὁ ἐκ τινος τῶν μὴ ἁπλῶν (§. υιε. υξζ΄.) συνιστάμενος, οὗ εἶεν, ὁ Συμπλεκτικὸς, ὁ Αἰτιολογικὸς, ὁ Διαζευκτικὸς, ὁ Ὑποθετικὸς, καὶ τἄλλα, περὶ ὧν ἑκάστου ἐν μέρει.

## Περὶ Συλλογισμοῦ Συμπλεκτικοῦ.

§. ψιδ΄.

Ὁ ἐκ μείζονος συμπλεκτικῆς (§. υκγ΄.) παρωνύμως καλούμενος, τοῖς μὲν ἁπλοῦς ἐστὶ συλλογισμὸς, τοῖς δὲ σύνθετος. Ἔστι δὲ, τόγε ἡμῖν δοκεῖν, ἄλλοτε ἄλλως, ἑκάτερον. Τῆς γὰρ τῷ ὑποκειμένῳ συμπλεκτικῆς μείζονος, συλλεκτικῶς (§. σκς΄.) τοῖς συμπλεκομένοις περιαπτούσης τὸ κατηγόρημα, ἁπλοῦς ὁ Συλλογισμὸς ἔσται· Οἷον,

Ὁ Ἀγαθός τε καὶ πανσθενὴς ὢν ποιεῖ τὸ ἄριστον.
Ὁ ΘΕΟΣ ἀγαθός τε καὶ πανσθενής ἐστιν.
Ὁ ΘΕΟΣ ἄρα ποιεῖ τὸ ἄριστον.

Τοῦτον γὰρ εἰς πλείονας συλλογισμοὺς μὴ ἐξὸν ἀναλῦσαι, τοῖς Κατηγορικοῖς ἀνάγκη συγκαταλέγειν.

§. ψιε΄. Τῆς δὲ δὴ κατὰ τοῦ συμπλεκτικοῦ ὑποκειμένου κατηγορίας διανεμητικῶς, ᾗ φασὶ (§. Αὐτ.) νοουμένης· ἢ γοῦν ἐὰν ἁπλοῦ τινος τὸ κατὰ συμπλοκὴν ἀνάπαλιν κατηγορῆται, σύνθετος ὁ Συλλογισμὸς ἀποβήσεται, εἰς ἁπλοῦς τοσούτους, ὅσα τὰ συμπλεκόμενα ἐστὶν, ἀναλυόμενος. Οἷον,

Σωκράτης καὶ Πλάτων καθηγηταὶ ὑπῆρξαν Ἀριστοτέλους.
Σωκράτης δὲ καὶ Πλάτων Ἀθηναῖοι ἐγένοντο.
Ἀθηναῖοι ἄρα οἱ Ἀριστοτέλους ὑπῆρξαν καθηγηταί.

 Ἀναλυ-